τέταρτος ἀπὸ Καλλίου (Ol. 93. 3), ἐφ' οὗ φασιν οἱ πλείους τὸν Σοφοκλέα τελευτῆσαι. σαφὲς δὲ τοῦτ' ἔστιν ἐξ ὧν ὁ μὲν Ἀριστοφάνης ἐν τοῖς Βατράχοις ἐπὶ Καλλίου ἀνάγει τοὺς τραγικοὺς ὑπὲρ γῆς, ὁ δὲ Φρύνιχος ἐν Μούσαις (I 379 K.), ἃς συγκαθῆκε τοῖς Βατράχοις, φησὶν οὕτως·

μάκαρ Σοφοκλέης, ὃς πολὺν χρόνον βιοὺς
ἀπέθανεν, εὐδαίμων ἀνὴρ καὶ δεξιός,
πολλὰς ποιήσας καὶ καλὰς τραγῳδίας,
καλῶς ⟨δ'⟩ ἐτελεύτησ', οὐδὲν ὑπομείνας κακόν.

ἐπὶ δὲ τῷ λεγομένῳ ἱππίῳ Κολωνῷ τὸ δρᾶμα κεῖται. ἔστι γὰρ καὶ ἕτερος Κολωνὸς ἀγοραῖος πρὸς τῷ Εὐρυσακείῳ, πρὸς ᾧ οἱ μισθαρνοῦντες προεστήκεισαν, ⟨ὥστε⟩ καὶ τὴν παροιμίαν ἐπὶ τοῖς καθυστερίζουσι τῶν καιρῶν διαδοθῆναι (App. Prov. iv. 49)

ὄψ' ἦλθες, ἀλλ' εἰς τὸν Κολωνὸν ἵεσο.

μνημονεύει τῶν δυεῖν Κολωνῶν Φερεκράτης ἐν Πετάλῃ (I 184 K.) διὰ τούτων·

οὗτος, πόθεν ἦλθες; Εἰς Κολωνὸν ἱέμην,
οὐ τὸν ἀγοραῖον, ἀλλὰ τὸν τῶν ἱππέων.

## III

## ΕΜΜΕΤΡΟΣ ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΠΡΟΓΕΓΡΑΜΜΕΝΟΥ ΔΡΑΜΑΤΟΣ ΗΤΟΙ ΤΟΥ ΕΠΙ ΚΟΛΩΝΩι ΟΙΔΙΠΟΥ

Ἤλυθεν ἐκ Θήβης ἀλαὸν πόδα βακτρεύουσα
  πατρὸς ὁμοῦ μητρὸς τλήμονος Ἀντιγόνη
ἐς χθόνα Κεκροπίης καὶ τὰς Δήμητρος ἀρούρας,
  σεμνῶν δ' ἱδρύθη σηκὸν ἐς ἀθανάτων·
ὡς δὲ Κρέων Θήβηθεν ἔχων εἰσῆλθεν ἀπειλάς,
  Θησεὺς ταῖς ὁσίαις ῥύσατο χερσὶ βίᾳ.
Φοιβείων παρέχειν χρησμῶν φάτιν εἶπεν ἀληθῆ
  ἔνθεν ἄρ' ὁ πρέσβυς τόνδε κρατεῖν πόλεμον.
Ἀργόθεν ἦλθε θεῶν ἱκέτης κρατερὸς Πολυνείκης,
  τῷ δὲ πατὴρ στυγερὰς ἐξαπέλασσεν ἀράς·

3 τραγικοὺς Clinton : στρατηγοὺς L  9 δ' add. Hermann  10 ἱππείῳ L  12 ὥστε add. Thiersch  17 ποτ' εἰσηλθετ' L : πόθεν ἥκεις Harpocr. v. Κολωναίτας : corr. Victorius  ἱέμην Meineke : ᾠχόμην L  19 ἐμμέτρως L  22 ὁμοῦ] ἀμοῦ L  28 corrupta : πόλεμος L